ΕΚ ΧΕΙΡΟΓΡΑΦΩΝ ΑΓΙΟΥ ΟΡΟΥΣ

ΠΑΝΥ ΩΦΕΛΙΜΩΤΑΤΩΝ & ΛΙΑΝ ΚΑΤΑΝΥΚΤΙΚΩΤΑΤΩΝ

ΨΥΧΟΦΕΛΩΝ ΛΟΓΩΝ ΑΓ. & Θ. ΠΑΤΕΡΩΝ

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ, ΚΥΡΙΛΟΥ

Ἀρχ)που Ἀλεξανδρείας κλπ.

«Ἐρευνᾶτε τὰς Γραφὰς
Ἐν αὐταῖς εὑρήσετε Ζωὴν αἰώνιον».
Μελετᾶτε νὰ σωθῆτε. Εἰ δ' ἄλλως δὲν διαβάζετε
Τάλανοι (θὰ) κολασθῆτε».





ΔΙΑΝΕΜΕΤΑΙ ΔΩΡΕΑΝ

τοῖς ἐν Χῷ ἀδελφοῖς καὶ πν. μας ἐν Κῳ Τέκνοις,
παρ' ὑμ. Πν. Π. Ἐλαχίστου Ἱερομ. καὶ Πνευ]κοῦ
Ματθαίου προσκυνητοῦ
Ἁγιορείτου Κρητὸς Λαυριώτου
Γν. Ὀρθοδόξου.

ΕΝ ΑΘΗΝΑΙΣ
1931





ΕΚ ΧΕΙΡΟΓΡΑΦΩΝ ΑΓΙΟΥ ΟΡΟΥΣ


ΠΑΝΥ ΩΦΕΛΙΜΩΤΑΤΩΝ & ΛΙΑΝ ΚΑΤΑΝΥΚΤΙΚΩΤΑΤΩΝ

ΨΥΧΟΦΕΛΩΝ ΛΟΓΩΝ ΑΓ. & Θ. ΠΑΤΕΡΩΝ

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ, ΚΥΡΙΛΟΥ

'Αρχ)που 'Αλεξανδρείας κλπ.


«'Ερευνᾶτε τὰς Γραφὰς
'Εν αὐταῖς εὑρήσετε Ζωὴν αἰώνιον».
Μελετᾶτε νὰ σωθῆτε. Εἰ δ' ἄλλως δὲν διαβάζετε
Τάλανοι (θὰ) κολασθῆτε».



ΔΙΑΝΕΜΕΤΑΙ ΔΩΡΕΑΝ

τοῖς ἐν Χῷ ἀδελφοῖς καὶ πν. μας ἐν Κω Τέκνοις,
παρ' ὑμ. Πν Π. 'Ελαχίστου 'Ιερομ καὶ Πνευ]κοῦ
Ματθαίου προσκυνητοῦ
'Αγιορείτου Κρητὸς Λαυριώτου
Γν. 'Ορθοδόξου.

ΕΝ ΑΘΗΝΑΙΣ
1931



ΩΣ ΠΡΟΛΟΓΟΣ ΤΟΥ ΒΙΒΛΙΑΡΙΔΙΟΥ

Τὸν θαυμαστὸν Λόγον τοῦ Θ. Π ἡμῶν, Ἁγίου Ἰωάννου τοῦ χρυσορρήμονος καὶ χρυσοστόμου, τὸν πάνυ κατανυκτικώτατον καὶ λίαν ψυχωφελέστατον, ὡς καὶ ὠφελιμώτατον ὡς καὶ λοιποὺς οὐχ ἅπαξ ἀλλ᾽ εἰ ἦν σοι δυνατὸν καθ᾽ ἑκάστην ἡμέραν τε καὶ ἑσπέραν, μετὰ Μ. προσοχῆς καὶ εὐλαβίας σου καὶ κατανύξεως ν᾽ ἀναγινώσκης (ὡς καὶ οὐ λέγω εἰς ἄλλους πολλούς, ἀλλ᾽ εἰ δυνατόν σοι, εἰς ὅλον τὸν κόσμον διαδώσῃς). Καὶ Μ. ὁ μισθός σου ἐν οὐρανοῖς: καὶ δι᾽ αὐτῶν πολλαὶ ψυχαὶ θὰ σωθῶσιν.

«Ὁ ἐξάγων ἄξιον, ἐξ ἀναξίου, ὡς τὸ στόμα μου ἔσται». Ὡς καὶ μὴ κρύψεις τὸ δοθέν σοι παρὰ Κυρίου Τάλαντον, ἵνα μὴ καταδικασθῇς ἐν τῷ αἰωνίῳ πυρὶ μετὰ τοῦ ὀκνηροῦ ἐκείνου ἀχρείου δούλου, τοῦ κρύψαντος τὸ τάλαντον. Ἀλλὰ προθύμως καὶ ἀόκνως, πολαπλασιάσῃς, καὶ ἀκούσεις παρὰ τοῦ Δεσπότου Π. Λ. Φωνῆς. «Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγων εἶς πιστός, ἐπὶ πολλῶν σὲ καταστήσω· εἴσε-λθε- εἰς τὴν χαρὰν τοῦ Κυρίου σου». Ὡς γὰρ καὶ ὁ Θεάδελφος Ἅγιος Ἰάκωβος λέγει. «Ἀδελφοί, ἐὰν τὶς ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ αὐτόν γινωσκέτω ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν».

Ὥστε ἀδελφοί μου ἀγαπητοί, ἔστω πᾶς ἄνθρωπος, ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν. Ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται. Εἴτις δοκεῖ θρῆσκος εἶναι ἐν ὑμῖν μὴ χαλιναγωγῶν γλῶσσαν αὐτοῦ ἀλλ᾽ἀπάντων καρδίαν αὐτοῦ, τούτου μάταιος ἡ θρησκεία. Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ Θεῷ καὶ Πατρί, αὕτη ἐστίν. Επισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας, ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.

(ὡς καὶ περὶ τῆς Πίστεως λέγει) «Πιστεύω, κἀγὼ ἐκ τῶν ἔργων μου, τὴν πίστιν μου δείξωσει· Σὺ δὲ πιστεύεις; δεῖξόν μοι διὰ τῶν ἔργων σου τὴν πίστιν σου. Πίστις ἐκτὸς ἐκ τῶν ἔργων νεκρὰ ἐστί». Καὶ τὰ δαιμόνια ἐκήρυττον. «Τὶ ἐμοὶ καὶ σοὶ Ἰησοῦς Υἱὸς τοῦ Θεοῦ ἦλθες πρὸ καιροῦ βασανῖσαι ἡμᾶς». ἀλλ᾽ὅμως δὲν ἐδικαιώθησαν, ἀλλὰ δαίμονες πάλιν ἔμεινον. Οὕτω πῶς καὶ ὀρθ. χριστιανὸς ὅταν μόνον Πίστιν μόνον ἔχει ἔργα δὲ δὲν ἔχει, οὐ σώζεται, ὡς καὶ πάλιν ἔργα ἔχει, ἀλλὰ Πίστιν δὲν κολάζεται. Ὡς οἱ σημερινοὶ λεγόμενοι ἠγέται κακόδοξοι.

Τῶν γραφομένων μου, μετὰ Μ. προσοχῆς οὐχ ἅπαξ ἀλλὰ πάντοτε ἀναγινώσκεται νὰ σωθῆτε.

Εἰς τὸν Θ. Π. Ἅγιον Ἰωάν. τὸν Χρυσόστομον

Διὰ μὲν τῶν πολιτικῶν στίχων ἐννόησον τοῦ λόγου ὠφέλειαν

Ἁγίου θείου μας πατρός ὅστις Λόγ. ἀναγνώση.
Ἀδύνατον τὸν βίον του, ζωην του, διορθώση
Ἐκτός μόνον ὁ ἄθεος, φρενόλυπτος μασσῶνος·
Θὰ μένῃ ἀδιόρθωτος, ὡς ὁ Ἰούδας μόνος.
Εἰδ' ἄλλως τε καὶ λάβ' αὐτόν, πιστὸς (ὀρθ.) νὰ ἀναγινώσκῃ·
Θὰ μάθῃ ὅσα ἤκουσε, καὶ πράττει οὐ γινώσκει.
Καὶ ὅσα ὁ Χρυσόστομος, ἐν λόγῳ του μᾶς λέγῃ·
Τὰ μέλλοντα ποῦ θά συμβοῦν, τοῖς πᾶσι παραγγέλλει.
Μὴν ἀπατᾶσθε ἄνθρωποι, ἐν κόσμῳ μὴ πλανᾶσθε·
Ἐν πλούτῳ δόξῃ καὶ τιμή, θνητοί νὰ μὴ καυχᾶσθε.
Ὅταν δὲ ἔλθῃ ἡ φοβερά, ὥρα φρικτή θανάτου·
Μὲ τρόμον βλέπει ἡ ψυχή, κατοίκησιν τοῦ τάφου.
Τοῦ σώματος διάλυσιν, ὡς καὶ τροφὴν σκωλήκων·
Τῶν ἀμετανοήτων τε, κι' ἀπίστων καταδίκων.
Αἰώνιον τὴν κόλασιν, σκότους τοῦ ἐξωτέρου·
Πυρίνου μὲν τοῦ ποταμοῦ, φρικτοῦ τὰ γὰρ ἑτέρου.
Καί ὅλας ὅσας τὰς δεινάς, ἀνηκούστους κολάσεις·
Διὰ τὰς ἁμαρτίας της, θείας τὰς ἀπολαύσεις.
Χάνει θὰ καταδικασθῇ, ἐν Ἅδῃ ν' ὠδυνᾶται.
Μετὰ δαιμόνων τῶν σκληρῶν, κλαίει μυρολογᾶται.
(ἐν κολάσει δεινῇ αἰωνίως Βασανίζεται)

Τότε οὐαί καὶ ἀλλοίμονον τὴν καταδικασθεῖσαν·
Αἰς Ἅδου καταχθόνια, κἀκεῖ φυλακεσθεῖσαν.
Τότε βλέπει ὁ ἄνθρωπος, ψυχὴ θρηνεῖ λυπεῖται·
Ματαίως καὶ ἀνωφελῶς, κλαίει μεταμελεῖται.
Πρὸ πάντων ὅταν θὰ δεθῇ, ἡ γλῶσσα μὴν ὁμιλήσῃ·
Σωματικὰ καὶ ψυχικά, χρέη τακτοποιήσῃ.
Νὰ βλέπῃ δὲ τοὺς συγγενεῖς, φίλους τοὺς πάντας κλαίουν.
Καὶ νὰ θρηνοῦν δὲ γοερῶς, ὅλοι τους καὶ νὰ λέγουν.
Δὲν ὁμιλεῖς ἀγαπητέ, νὰ μᾶς παρηγορήσῃς;
Τὴν φλόγαν τῆς καρδίας μας, (λύπην) διὰ φωνῆς σου, σβύσῃς;
Δείκνύει μετὰ σχήματα, ὡς καὶ μεταμελεῖται·
Νὰ ὁμιλήσ' οὐ δύναται, δεινῶς στενοχωρεῖται.
Μέγας ἀγών δὲ τῆς ψυχῆς, ὥρας τῆς τελευταίας·
Τήν μεταμέλειαν σκληράν, ζωῆς τῆς προτεραίας.
Καὶ τοῦτο μόνον οὐκ' ἀρκεῖ, ἀλλ' ἐν ἀγῶνι βλέπει·
Θεοῦ ἀγγέλους φοβερούς, μέλλοντα ἐπιβλέπει.
Τότε ἀρχίζει κλαίουσα καὶ γοερῶς θρηνοῦσα·
Καὶ δεομένη λέγουσα, ὡς καὶ παρακαλοῦσα.
Δέομαι καὶ παρακαλῶ, Ἄγγελοι ἐλεήσατέμε·
Ποιήσω τὴν μετάνοιαν, καὶ ἀναμένετ έ με



Ἄγγελοι ἐλεήσατε, μὴ σώματος χωρῖσαι·
Ὀλίγον ἀναμένετε ὅπως μετανοῆσαι.
(Μέγας φόβος, τρόμος τότε! Φεῖσαι ἡμῶν Κύριον)

Νὰ κλαύσω καὶ θρηνήσω μὲν, ἔργα καλὰ ποιήσω·
Δι' ἐλεημοσύνης δε κριτὴν μ' ἐκδυσωπήσω.
Ἀλλὰ φεῦ! οἴμ' ἀλλοίμονον! Ἀγγέλων ἀποκρίσει·
Κολάσεώς τε τῆς φρικτῆς, δαιμόνων κατοικήσει.
Ὦ ψυχή! ὦ ἐλεεινὴ ὦ ψυχὴ παναθλία·
Ψυχὴ ἀμετανόητε, μᾶλλον δὲ τρισαθλία
Ἔξελθε καὶ πορεύθητι, εἰς κόλασιν αἰωνίαν·
Πυρὶ δὲ κατακαίεται ταρτάρῳ τρισαθλία.
Οὐαὶ δὲ καὶ ἀλλοίμονον! ἄνθρωπον κολασμένον·
Εἰς τὰς τοῦ Ἅδου φυλακάς, τὸν καταδικασμένον.
Καλλήτερον του ἦτον μὲν, ἐν κόσμῳ μὴ γεννᾶται·
Παρὰ εἰς αἰωνίους δέ, κολάσεις ν' ὀδυνᾶται (βασανίζεται)
Φεῖσαι καὶ καὶ ῥῦσαι Δέσποτα, ἁμαρτολοὺς κολάσεις·
Καὶ μὴ εἰς πὺρ τὸ ἄσβεστον, πιστοὺς (ὀρθ.) καταδικάσεις.
Ἀλλὰ φιλανθρωπώτατε, Χριστέ μου νὰ μᾶς σώσῃς·
Ἐκ τῶν δεινῶν κολάσεων, πάντας ἐλευθερώσῃς.
Καὶ οἷς κρίμασιν ἐπίστασαι, σῶσον μας ὦ Χριστέ μου·
Τῆς βασιλείας Σοῦ Πατρός, ἀξίωσον Θεέ μου.
Διὰ πανάγνων πρεσβειῶν, Μητρός Σου (καὶ Μ. μας) Πλαστουργέμας
Δια πανάγν ἱκεσιῶν, Μητρός Σου Πάντ' Ἁγίωσ· (προσευχῆς)
Προφητῶν Ἀποστόλων μας Ἱεραρχῶν Μαρτήρων (Οσίων)
Ὦ Παναγία μου ἁγνή, εὐσπλαγχνίσου μας σώσῃς.
Αἰωνίου κολάσεως πάντας ἐλευθερώσῃς.
Γένοιτο Παναγία μου, πόθοι μας πληρωθῶσιν·
Οἰκτρόταταί μας προσευχάς ὅπως εἰσακουσθῶσιν.
Ἀμὴν Γένοιτο Κύριε.

ΛΟΓΟΣ

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν, Ἰωάννου τοῦ Χρυσοστόμου, εἰς τὸν μάταιον βίον καὶ εἰς κατάνυξιν καὶ ὠφέλειαν ἡμῶν κατανυκ]τος καὶ πάνυ ὠφέλ]τος. Εὐλόγησον Πάτερ!

Ὅσοι τοῦ βίου μάταια, καὶ ἀπολλύμενα πράγματα κατελίπατε, μὴ πάλιν τὴν ὑμετέραν καρδίαν, εἰς αὐτὰ ἀποστρέφεται. Ὁ πλοῦτος παρέρχεται, καὶ ἡ δόξα ἀπόλυται. Τὸ κάλλος μαραίνεται, καὶ πάντα διαλύονται, καὶ ὡς καπνὸς παρέρχεται, καὶ ὡς σκιὰ παράγουσιν. Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. «Καὶ μάτην ταράσσεται, πᾶς ἄνθρωπος. Ὄντως γὰρ μάτην ταράσσεται, καὶ μάτην θορυβοῦνται, μάτην θορυβοῦνται χειμάζονται. Νῦν οἱ συνάγοντες τὰ μετ' ὀλίγον ἀπολλυμένα

ὅπερ λαβεῖν μεθ' ἑαυτῶν οὐ δύνανται· ἀλλὰ πάντα καταλυμπάνοντες,
γυμνοὶ ὡς ἐγεννήθημεν, πρὸς φοβερὸν δικαστὴν πορευόμεθα. Κἂν
πάντας τοὺς θυσαυροὺς συνάγωμεν ἐδῶ, ἐκεῖ γυμνοὶ καὶ ἐλεεινοί, σκυ-
θρωποί, σκοτεινοί, συντετριμμένοι, τεταπεινωμένοι τετραχυλισμένοι, ἐν
φόβῳ καὶ τρόμῳ· κατηφεῖς, ὀδυνηροί, εἰς γῆν τὸ πρόσωπον ἐρρημένον
καὶ τοῦτο μετὰ αἰσχύνης καλύπτοντες, οὕτως πορευόμεθα. Οὕτως ἀνι-
στάμεθα, οὕτως παριστάμεθα. Εἰς ἐκεῖνον τὸ Μέγα, εἰς ἐκεῖνον τὸ φο-
βερὸν τὸ φρικτόν, τὸ απροσωπόλιστον τὸ ἀδοροδόκητον ἀκατάληπτον
δικαστήριον καὶ κολαστήριον. Ὅπου ἄγγελοι τρέμουσιν. Ὅπου θρόνοι
φοβεροὶ τίθενται. Ὅπου οἱ βίβλοι τῶν πράξεων ἡμῶν ἀνοίγονται. Ὅπου
ὁ ποταμὸς τοῦ πυρὸς τοῦ ἀσβέστου· ὅπου ὁ ἀνήμερος σκώληξ. Ὅπου τὸ
ἀφώτιστον σκότος. Ὅπου ὁ ἀθέρμαστος τάρταρος. Ὅπου ὁ βρυθμὸς τῶν
ὀδόντων. Ὅπου τὸ ἀκατάπαυστον δάκρυον· ὅπου οἱ ἀσύγητοι στεναγμοὶ
Ὅπου τὸ ἀπαραμύθυτον πένθος. Ὅπου οὐκ ἔστιν γέλος, ἀλλὰ κλαθμός.
Ὅπου οὐκ ἐστὶ φέγγος ἀλλὰ τρόμος. Ὅπου οὐκ ἔστιν χαρμονή, ἀλλὰ
στεναγμός. Ὅπου οὐκ ἔστιν τροφή, ἀλλὰ ἀνταπόδωσις. Φοβερὸν ὄντως
τὸ ἀκοῦσαι, φοβερώτερον δὲ τὸ ἰδέσθαι πᾶσαν κτίσιν, ἐξαίφνης ἀντιστα-
μένην, καὶ ἀπολογουμένην ὑπὲρ λόγων, ὑπὲρ εὐθυμήσεων, ὑπὲρ τῶν ἐν
νυκτί· ὑπὲρ τῶν ἐν ἡμέρᾳ· ὧν ἥμαρτεν ἕκαστος ἀπατηθήσεται. Μέγας
φόβος τότε ἀδελφοί. Μέγας τρόμος. Μεγάλη ἀνάγκη ἡ γενομένη τότε·
οἵα οὐδέποτε ἐγένετο, οὐδὲ γίνεται, ἐπὶ τῆς φρικτῆς ὥρας ἐκείνης. Ὅτε
οἱ Ἄγγελοι περιτρέχουσιν. Αἱ σάλπιγγες βοῶσι. Τὰ ἄστρα πιδοῦσιν.
Ὁ ἥλιος σκοτίζεται. Οἱ οὐρανοὶ εἰλίσσονται, ἡ γῆ πᾶσα σχλεύεται. Αἱ
δυνάμεις προτρέχουσιν. Τὰ σεραφεὶμ βοῶσι. Τὰ χερουβὶμ σείονται· τὸ
ἄνω καὶ κάτω, τὰ ἐπίγεια, τα καταχθόνια ταράσσονται. Τὰ μνημεῖα
ἀνοίγονται. Τὰ κριτήρια εὐτρεπίζονται. Πολὺς φόβος, ἀδιήγητος ὁ τρό-
μος, ἀνερμήνευτος ἡ ἀνάγκη ἡ τότε γενομένη. Μέγας ὁ χειμὼν ἐκεῖνος,
Μέγας ὁ κλίδων, χαλεπὴ ἡ περίστασις, ἀκατάληπτος ὁ θόρυβος. Ἀκού-
σωμεν τοῦ Δανιὴλ λέγοντος· «ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, ἕως οὗ
θρόνοι ἐτέθησαν, καὶ παλαιὰς ἡμερῶν ἐκάθησεν. Ὁ θρόνος αὐτοῦ φλὸξ
πυρός, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγουν. Ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν
αὐτοῦ. Χίλιαι χιλιάδες παρεστήθησαν αὐτῷ καὶ μύριαι μυριάδες ἐλειτούρ-
γουν αὐτῷ. Κριτήριον ἐκάθισέν καὶ βίβλοι ἠνεώχθησαν.« Ἔφριξε τὸ πνεῦμα
μου, ἐγὼ Δανιὴλ ἰδών· καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάραξάν με
βαβαί! Ὁ Προφήτης τὰ ὁρόμεναι τῆς μελλούσης Κρίσεως ἰδὼν ἔφριξε·
καὶ τί ἄρα ἡμεῖς μέλλομεν ὑπομένειν. Ὅταν ἀνατολῶν ἡλίου μέχρι δυ-
σμῶν, παριστάμεθα γυμνοί, καὶ τὸ φορτίον τῶν ἁμαρτιῶν ἡμῶν ἐπὶ τοῦ
τραχήλου σὺν τοῖς ἀποκρύφοις ἔργοις ἡμῶν τοῖς πᾶσι δεικνύοντες.

Τότε τῶν βλασφήμων αἱ γλῶσσαι, ἀπὸ τῶν ἀποτόμων Ἀγγέλων συν-

τρίβονται. Τότε τῶν φυλαργύρων αἱ τρέμουσαι χεῖρες κρέμανται καὶ
ζεόμεναι ὀδυνῶνται. Τότε οἱ ὀφθαλμοὶ τῶν διανευόντων ἐξορίσσονται.
Ποῦ τότε γονεῖς; ποῦ ἀδελφοί, ποῦ πατήρ; ποῦ μήτηρ; ποῦ φίλοι, ποῦ
γείτων; Ποῦ ἡ τῶν βασιλευόντων, φαντασίαι; Ποῦ ἡ τῶν ἀρχόντων ἡ
ἐξουσία; ποῦ ἡ τῶν δικαστῶν ὑπερηφάνεια; Ποῦ οἱ δοῦλοι; ποῦ αἱ
δουλῖδες; Ποῦ ὁ καλλωπισμὸς τῶν ἱματίων; ποῦ ὁ εὐτρεπισμὸς τῶν
δακτύλων; ποῦ τά συρικά; ποῦ τὰ φύσσινα; Ποῦ ἡ φαντασία τοῦ χρυ-
σοῦ; ποῦ ὁ κτῦπος τοῦ ἀργύρου; ποῦ οἱ παράδεισοι κῆποι. Ποῦ αἱ οἰ-
κίαι αἱ κεκοσμημέναι; Ποῦ οἱ φυλαττόμενοι θησαυροί; ποῦ οἱ παρο-
ρόντες τοὺς πένητας, καὶ ὡς ἀθάνατοι διακείμενοι; ποῦ οἱ ὀνειδίζοντες
τοὺς πτωχούς; ποῦ οἱ παραβλέπτοντες τοὺς ἐν ἀνάγκαις ὄντας. Ποῦ οἱ
γελῶντες, καὶ τοὺς εὐλαβεῖς ἐκμυκτυρίζοντες; ποῦ εἰσὶ οἱ λέγοντες· Φι-
λάνθρωπος ἐστὶν ὁ Θεὸς καὶ οὐ κολάζῃ τοὺς ἁμαρτωλούς; Πόσον οὖν
μετανοήσωσιν οἱ ταῦτα λέγοντες; Πόσον κόμψονται καὶ οὐκ ἐστὶν ὁ ἐλεῶν
αὐτούς. Πόσον στενάζουσι καὶ οὐδεὶς ὁ λυτρούμενος, πόσον τ' αὐτοῖς κα-
τακόπτοντες εἴπωσιν, οὐαί! ἑαυτοῖς ἀπολέσαμεν ἐδιδασκόμεθα καὶ οὐ
προσέχαμεν· ἐνουθετούμεθα καὶ κατεφρονοῦμεν. Διεμαρτύροντο ἡμῖν καὶ
οὐκ ἐπιστεύαμεν τῶν θείων γραφῶν λεγόντων. Προσέχετε ἕκαστος ἑαυτόν
ὅτι καὶ περὶ ἀργοῦ λόγου, λόγον δόσωμεν ἐν ἡμέρᾳ κρίσεως. Ἀλλ' ἡμεῖς
οὐδὲν ταῦτα ἐλογιζόμεθα. Διὰ τοῦτο δικαία ἡ κρίσις τοῦ Θεοῦ, ὄν-
τως ἀξίως κολαζόμεθα. Διὰ μικρὸν χρόνον ἀμελήσαντες, τῷ αἰωνίῳ
πυρὶ καταδικαζόμεθα. Διὰ δόξαν ματαίαν καὶ ἀπάνθρωπον, τῆς ἀληθοῦς
δόξης ἐστερήθημεν. Διὰ πλοῦτον ἀπολλυμένον τοῦ πλούτου τῆς βασι-
λείας τῶν οὐρανῶν ἐξεπέσαμεν, ὄντως δικαία ἡ κρίσις τοῦ Θεοῦ.

Νῦν οἱ νηστεύσαντές τρυφῶσιν. Οἱ ἁγνεύσαντες ἑαυτοῖς εἰς τὸν Οὐ-
ράνιον Νυμφῶνα χορεύουσιν. Οἱ σκορπίσαντες ἐν ἀγαλλιάσει θεριοῦσιν
Οἱ κλαύσαντες, αἰωνίως ἀγάλλωνται. Οἱ καταφρονήσαντες τῶν ἐπιγείων
ἀπέλαβον τὰ ἐπουράνια. Μόνοι δὲ ἡμεῖς οἱ ἁμαρτωλοί, κολάσει ἀξίως
παρεδόθημεν καὶ νῦν κράζομεν, καὶ οὐκ ἔστιν ὁ ἐλεών. Στενάζοντες
καὶ οὐκ ἔστιν ὁ σώζων. Ἵνα οὖν καὶ ἡμεῖς, μετ' ἐκείνων τῶν ἀφρόνων
τὰ τοιαῦτα ρήματα, ἐν τῷ μέλλοντι αἰῶνι εἴπωμεν. Δεῦτε προφθάσωμεν
τὸ ἑαυτόν τέλος. Προλάβωμεν τὸν κλέπτην τῶν ψυχῶν ἡμῶν; Δράμωμεν
ὡς καιρὸν ἔχομεν. Στενάξωμεν μετανοήσωμεν, ἐξυπνισθῶμεν ἐκ τοῦ
ὕπνου τῆς ραθυμίας ἡμῶν, ἐκ τοῦ βάρους τῆς ἀμελείας ἡμῶν. Ὑψώσω-
μεν χεῖρας πρὸς τὸν δυνάμενον σῶσαι καὶ εἴπωμεν. Ἰησοῦ, σῶσον
ἀπολλύμεθα. Σπεύσωμεν πρὶν ὁ Ἥλιος δύσει πρὶν ἡ θύρα κλεισθῇ.
Ἐπὰν ἡ νὺξ καταλάβῃ οὐδεὶς ἐργάζεται, ἐπὰν ἡ πανήγυρις τοῦ βίου
λυθῇ οὐδεὶς πραγματεύεται. Ἐπὰν τὸ θέατρον λυθῇ οὐδεὶς στεφανοῦται
Οὐδεὶς ἀγωνίζεται· οὐδεὶς πιστεύει. Διὸ δράμωμεν δρόμου σφοδροῦ, ἵνα

φθάσωμεν· ἵνα καὶ ἡμεῖς κρούσαντες ἀκούσωμεν, οὐκ' οἶδα ὑμᾶς : Ὀρθοποδήσωμεν αἰδεσθῶμεν. Πόσω τὸν Δεσπότην ἀτιμάζομεν. Πόσα τὸν εὐεργέτην παροξύνομεν, αἰσχυθῶμεν λοιπόν. Ὁ γὰρ καιρὸς ἤγγικε καὶ ἡ ἡμέρα ἔφθασεν. Καὶ δεῖ ἡμᾶς λόγον ἀποδοῦναι, ὑπὲρ ὅλου τοῦ βίου ἡμῶν. Ὅμως παυσώμεθα τῆς τροφῆς, τοῦ αἰσχροῦ γέλωτος, ἵνα μὴ κλαύσωμεν ἐκεῖ πικρῶς. Παυσώμεθα τοὺς ἀδελφοὺς λοιδωροῦντας, ἀδικοῦντας, μισοῦντες, καταλαλοῦντες; Παυσόμεθα θησαυρίζοντες, πλεονεκτοῦντες. Σχολάσωμεν ταῖς προσευχαῖς καὶ ταῖς δεήσεσιν, ταῖς νηστείαις ταῖς ἀγρυπνίαις. Ἐξομολογησόμεθα· ἐπιστρέψωμεν ἀδελφοί. Ἐπιστροφῆς γὰρ ὁ καιρὸς οὗτος. Μετανοήσωμεν, μετανοίας γὰρ ὁ καιρός καὶ δακρύων πολλῶν. Δείξομεν μετάνοιαν Θεῷ ἐμμέριμνον καὶ κρίσεως ἡμέραν μελετημένην καὶ ἁμαρτίαν λοιπὸν παρ' ἡμῶν μεμισημένην καὶ γνώμην διορθωμένην. Ποιήσωμεν ὧδε μικρόν, ἵνα μὴ κολασθῶμεν ἐκεῖ αἰωνίως. Ἀγωνισώμεθα προσκαίρως, ἵνα μὴ βασανισθῶμεν εἰς ἀπεράντους αἰῶνας. Ὁ χρόνος μικρός, ἡ δὲ κρίσις μακρά. Τὸ τέλος ἐγγὺς καὶ ὁ γνησίως μετανοῶν οὐδείς. Ἕκαστος γὰρ θέλει ζητήσει τὸν καιρὸν ὃν κακῶς ἐδαπάνησεν καὶ οὐχ εὑρήσει. Οὐαὶ τῷ ἀμελοῦντι Ζητήσει γὰρ σταγόνα ὕδατος φλεγόμενος καὶ οὐδεὶς ὁ παρέχων. Οὐαὶ! τῷ ἀπιστοῦντι ὅτι αἰωνίως κολάζεται· οὐαί ! τῷ μὴ μετανοοῦντι, ὅτι πρὸς αὐστηρὸν Κριτὴν ἀπέρχεται· οὐαί! τῷ ραθύμῳ ὅτι πρὸς ἀποτόμους ἀγγέλους παραδίδοται. Μὴ φεισώμεθα τῶν ἑαυτῶν σωμάτων, ἀλλὰ ταῦτα κατατρίψωμεν. Ἐπειδὴ μακάριοι οἱ πινῶντες καὶ διψῶντες. Τὸ δὲ σῶμα πιλὸς ἐστὶν καὶ ἐλεύσεται ὥρα καὶ ἡμέρα φοβερὰ καὶ ἀπαραίτητος. Καὶ εἰς γῆν ἡ γῆ πορεύεται. Καὶ ἡ κόνις πάλιν κόνις γίνεται.

Διὸ νήψωμεν παρακαλῶ, ὁδοιπορήσωμεν δυσωπᾶ. Μὴ ἑαυτοῖς ἀπατήσωμεν. Ἔστω γὰρ καὶ τρυφῶμεν· ἔστω καὶ πλουτοῦμεν πεντήκοντα ἔτη· ἢ καὶ ἑκατόν. Καὶ μετὰ ταῦτα τί ; Γῆρας καὶ μετὰ ταῦτα νόσος καὶ μετὰ ταῦτα ἀδυναμία, καὶ μετὰ ταῦτα ἡ φρικτὴ ἐκείνη ὥρα ἡ παρὰ πάντων προσδοκωμένην καὶ φριττομένην καὶ ἀμελουμένην. Μέγας φόβος τότε ἀδελφοί ! Μέγα δὲ ἐστὶν ἰδεῖν ψυχὴν χωριζομένην ἐκ τοῦ σώματος. Μεγάλη ὥρα τῆς ἀνάγκης ἐκείνης ὅταν ἡ φωνὴ κρατηθήσεται. Ὅταν ἡ γλῶσα καθαρὸν λόγον εἰπεῖν οὐ δύναται· ὅταν στρέφωμεν τοὺς ὀφθαλμοὺς συνεχῶς εἰς τοὺς παρεστῶτας ἡμῖν ἀδελφούς, ἢ φίλους, ἢ γονεῖς, οὐ γνωρίζομεν· ἢ τάχα καὶ γνωρίζομεν, ἀλλὰ φθέγξασθαι πρὸς αὐτοὺς οὐ δυνάμεθα. Τῶν θρηνούντων ἡμᾶς ἀκούωμεν καὶ τούτους παραμηθύσασθαι οὐ δυνάμεθα. Τὰ τέκνα ὀδυρόμενα καὶ δακρύοντά βλέπομεν καὶ τὸν πόνον ἐκείνων ἔχοντες πορευόμεθα. Καὶ τί λέγω τέκνα ; ἐν τῇ ὥρᾳ ἐκείνῃ οὐκ ἔστιν μέριμνα τέκνων, οὐδὲ φίλων, οὐδὲ ἄλλη φροντὶς συνέχει ἡμᾶς· μόνον ἡ μνήμη τῶν ἡμετέρων ἁμαρτημάτων καὶ

πῶς ἀπαντήσωμεν τῷ Κριτῇ. Καὶ ποίαν ἀπολογίαν εἴπομεν. Καὶ ποῖος
ἄρα τόπος δέξεται ἡμᾶς. Εἶτα ὡς ταῦτα ἐνθυμούμενοι ἐξαίφνης ἐφίσταν-
ται ἡμῖν Ἄγγελοι ἀπότομοι, παρὰ Θεοῦ ἀπεσταλμένοι. Τότε ἡμεῖς θεω-
ροῦντες τούτους, ἐὰν ἀνευπρέπιστοι εὑρεθῶμεν, μέλλομεν ταράσσεσθαι
καὶ τῆς κλίνης φεύγειν δοκιμάζοντες, καὶ μὴ δυνάμενοι δέ, ἀλλὰ ἐλεει-
νοῖς ὀφθαλμοῖς καὶ στιγνῷ τῷ προσώπῳ προσέχωμεν πρὸς αὐτοὺς παρα-
καλοῦντες, δυσωποῦντες, ἱκετεύοντες. Ἐλεήσατε ἡμᾶς φιλάνθρωποι Ἄγ-
γελοι λέγοντες, ἐλεήσατε. Μὴ μὲ ἄκαρπον πρὸς τὸν Κριτὴν ἐπενέγκητε·
μὴ μὲ ἁμαρτωλόν τοῦ σώματος χωρίσητε. Δέομαι καὶ δυσωπῶ, δώσατέ
μοι ὀλίγον χρόνον μετανοῆσαι, στενάξαι, πενθῆσαι, ἐλεημοσύνας ποιῆσαι.
Διό, δυσωπῶ, δυσωπήθητε· παδακαλῶ, παρακλίθητε ἐπειδὴ κακῶς τὸν
ἑαυτοῦ βίον ἐδαπάνησα καὶ ἠνάλωσα. Ταῦτα παρ' ἡμῶν ἀκούοντες οἱ
Ἄγγελοι λέγουσι πρὸς ἡμᾶς. Ὦ ψυχὴ ταπεινή, ὦ ψυχὴ ἐλεεινή ! Πά-
σας τὰς ἡμέρας σου ἐν ἀμελείᾳ ἔζησας καὶ ἄρτι μετανοῆσαι θέλεις ; Ὦ
ψυχὴ ὁ Ἥλιος ἐβασίλευσεν· ὁ χρόνος σου τετέλεσθαι, ἡ ἐκκοπὴ ἔφθασεν.
Ὁ Θεὸς ἐκέλευσεν ἀθλία ψυχή· ἔξελθε ἐν πυρὶ αἰωνίῳ κατὰ τὰς πράξεις
σου· οὐκ ἔστιν σοι λοιπὸν ἐλπίς· οὐκ ἔστιν σοι σωτηρία, ἀλλὰ αἰω-
νίως τε τιμωρία. Ταῦτα ἀκούοντες ἀδελφοί, μὴ πλανηθῶμεν. Κρίσις
ἐστὶν καὶ Κόλασις αἰωνία. Καὶ πῦρ ἄσβεστον καὶ σκώληξ ἀτελεύτητος
καὶ σκότος ἐξώτερον· καὶ τάρταρος καὶ βρυγμὸς καὶ κλαθμὸς ὡς ὁ Κύριος
ἐν Εὐαγγελίοις ἐμνημόνευσε καὶ οὐ ψεύδεται. Ὁ Οὐρανὸς γὰρ φησὶ καὶ
ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν». Διὸ φοβηθῶμεν
καὶ φρίξομεν πάντες οἱ ἐν ἁμαρτίαις ζήσαντες καὶ σπουδάσωμεν τῆς με-
τανπίας, εὐαρεστῆσαι τῷ Χριστῷ.

Μὴ ραθυμήσωμεν, μὴ ἀποκάμωμεν, κρούοντες καὶ λέγοντες. Ἄνοι-
ξον ἡμῖν, ἄνοιξον τοῖς ἀναξίοις καὶ ταπεινοῖς καὶ ἁμαρτωλεῖς, διὰ τό
ὄνομά σου τὸ Ἅγιον. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ σοῦ ἐστὶν ἡ δόξα, εἰς
τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

Τοῦ ἐν Ἁγίοις Π. ἡμῶν Ἰωάννου τοῦ Χρυσορ. Χρυσοστόμου.

Τί ζητεῖ ὁ Θεὸς παρὰ σοῦ Ἀδελφέ, πλὴν τῆς σωτηρίας; Ἐὰν δὲ σὺ ἀμελῇς καὶ οὐ βούλῃ σωθῆναι καὶ τὰς εὐθείας ὁδοὺς τοῦ Θεοῦ μὴ βαδίσαι καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ θέλῃς ἐπιτελεῖν, σεαυτὸν ἀποκτείνειν καὶ σεαυτὸν ἐκβάλλεις τοῦ Οὐρανίου νυμφῶνος.

Τί ὑπερηφανεύει, ὦ ἄνθρωπε, πηλὸς ὢν καὶ σαπρία; Τί τὸν αὐχένα ἐπαίρεις, τὸν μετ' ὀλίγον σημαινόμενον ;

«Ἄνοιξον τὰ φιλάνθρωπα Χριστέ μου νὰ μᾶς σώσῃς
«Ἐκ τῶν ἀπείρων μας παθῶν νὰ μᾶς ἐλευθερώσῃς.
«Διὰ πανάγνων πρεσβειῶν, Μητρός σου Παναγίας
«Χριστιανῶν προστάτιδος, ψυχῆς μας σωτηρίας
«Ἐπίσης πάντ' Ἁγίων σου, Ἀποστόλων Μαρτύρων
«Προφητῶν καὶ Ἱεραρχῶν καὶ ὅλων τῶν Ὁσίων».

Κατεπλάγη Ἰωσήφ. Ἦχος π. δ.

Ἀναλόγισαι ψυχή, πῶς παραστῶμεν τῷ Κριτῇ ἐν τῇ ὥρᾳ τῇ φρικτῇ, τίθενται Θρόνοι φοβροὶ καὶ τῶν ἀνθρώπων αἱ πράξεις διελέγχονται· τότε ὁ Κριτὴς ἀδυσώπητος· πρὸ δήματος γὰρ πῦρ πρόπορεύεται, ὥσπερ ἀγρίκ θάλασσα σὺν ἤχω κατακαλύπτον τοὺς πταίσαντας. Ἀναλογίζου ταῦτα ψυχή μου καὶ τὰ ἔργα σου εὔθυνον.

«Ἐρευνᾶτε τὰς Γραφὰς, ὅτι ἐν αὐταῖς, εὑρήσετε ζωὴν αἰώνιον» Ἐν ταῖς ἐσχάταις ἡμέραις.

«Λιμὸν μέγαν ἐπάξω ἐπὶ τῆς γῆς, οὐχ ἄρτου καὶ δίψης ὕδατος, ἀλλὰ ρήματος Κυρίου Λόγου Θεοῦ. Ἁγίους Προφ. Καὶ πραγματικῶς σήμερον, πληροῦνται οἱ προφ. Λόγοι, ὡς καὶ Δαυῒδ προφήτης «Πάντες ἐξέκλιναν ἅμα ἠχριώθησαν· οὐκ ἔστι ποιῶν ἀγαθόν, οὐκ ἔστιν ἕως ἑνός. Καὶ ἄνθρωπος, ἐν τιμῇ ὤν, παρεσυνεβλήθη τοῖς Κτίνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθην αὐτοῖς». Ἀλλὰ ἄνθρωποι! «Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ᾽ ὑπάρχει μετὰ θάνατον οὐ παραμένει ὁ πλοῦτος, οὐ συνοδευει ἡ δόξα ἐπελθὼν γὰρ ὁ θάνατος, ταῦτα πάντα ἐξηφάνισται διὸ ἀδελφοι ἐννοήσαντες τὸ βραχὺ τῆς ζωης . . . Καὶ μάτην ταράττεται πᾶς γηγενὴς ὡς εἶπεν ἡ Γραφή. Ὁτε τὸν κόσμον κερδήσωμεν, τότε τῷ τάφῳ οἰκήσωμεν, ὅπου ὁμοῦ βασιλεῖς καὶ πτωχοί . . . Ὁ γὰρ βίος σκιὰ καὶ ἐνύπνιον . . . Λοιπὸν ἀγαπ. Ἀδελφοι μου «Γρηγορεῖτε καὶ προσεύχεσθε, οὐ γὰρ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται».

ΛΟΓΟΣ

Τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Κυρίλλου, Ἀρχιεπισκόπου Ἀλεξανδρείας.

Περὶ

Ἐξόδου ψυχῆς, καὶ περὶ τῆς Δευτέρας Χριστοῦ Παρουσίας.

Φοβοῦμαι τὸν θάνατον, ὅτι πικρος μοι ἐστίν. Φοβοῦμαι τὴν γέενναν, ὅτι ἀτελεύτητος ἐστί. Φοβοῦμαι τὸν τάρταρον, ὅτι οὐ μετέχει θέρμης. Φοβοῦμαι τὸ σκότος, ὅτι οὐ μετέχει φωτός. Φοβοῦμαι τὸν σκώλικα τὸν ἰοβόλον ὅτι ἀτελεύτητος ἐστί. Φοβοῦμαι καὶ τοὺς Ἀγγέλους τοὺς ἐπὶ τῆς κρίσεως, ὅτι ἀνελεήμονες εἰσί. Φοβοῦμαι ἐννοῶν τῆς ἡμέρας ἐκείνης τὸ φοβερὸν καὶ ἀδέκαστον δικαστήριον, τὸ βῆμα τὸ φρικῶδες τὸν Δικαστὴν τὸν ἀδέκαστον. Φοβοῦμαι τὸν ποταμὸν τοῦ πυρὸς τὸν πρὸ τοῦ βήματος ἐκείνου συρόμενον καὶ σφοδροτάτη κοχλάζοντα τῇ φλολί. Φοβοῦμαι τὰς ἠκονημένας ρομφαίας, τὰς ἀποτόμους τιμωρίας. Φοβοῦμαι τὰ δεσμὰ τὰ ἄλυτα, τὸν βρυχμὸν τῶν ὀδόντων. Φοβοῦμαι τὴν Κόλασιν

τὴν οὐκ ἔχουσα τέλος· πτοοῦμαι τὸν ζόφον τὸν ἀφεγγῆ. Φοβοῦμαι τὸ σκότος τὸ ἐξώτερον. Φοβοῦμαι τὸν κλαθμὸν τὸν ἀπαραμύθητον, τοὺς ἀτέκτους ἐλέγχους. Οὐδὲν γὰρ κατηγόρων δεῖται ὁ Δικαστής ἐκεῖνος οὔτε μαρτύρων οὔτε ἀποδείξεων, οὔτε ἐλέγχων ἀλλ᾽ ὅσα ἐπράξαμεν καὶ ἐλαλήσαμεν καὶ ἐβουλευσάμεθα, φέρει εἰς μέσον πρὸ τῶν ὀφθαλμῶν τῶν πεπλημμεληκότων. Τότε οὐδεὶς ὁ περιστάμενος καὶ ἐξαρπάζων τῆς τιμωρίας, οὐ πατήρ οὐ Μήτηρ οὐχ᾽ υἱός, οὐχὶ θυγάτηρ, οὐκ ἄλλος τις τῶν συγγενῶν, οὐ γείτων, οὐ φίλος οὐ συνήγορος, οὐ χρημάτων δόσις, οὐ πλούτου περιουσία, οὐ δυναστείας ὄγκος, ἀλλὰ ταῦτα πάντα ὥσπερ κόνις καὶ σποδὸν ἐνήλλακται καὶ μόνος ὁ κρινόμενος ὑπὸ τῶν αὐτοῦ πεπραγμένων τὴν ἐλευθεροῦσαν ἢ τὴν καταδικάζουσαν ὑπόμενοι ψῆφον.

Οἴμοι τῆς συνειδήσεως ἐλεγχούσης μεν, καὶ τῆς Γραφῆς βοώσης καὶ διδασκούσης με ἀπέχων τῶν μιασμάτων καὶ πάντων τῶν ἐβδελυγμένων ἔργων. Οἴμοι. ὅτι τὸν ναὸν τοῦ σώματος ἔφθειρα καὶ τὸ ἅγιόν σου Πνεῦμα ἐλύπησα. Ὦ Θεὲ ἀληθινά σου τὰ ἔργα καὶ δικαία ἡ κρίσις σου καὶ εὐθεῖαι αἱ ὁδοί σου, καὶ ἀνεξιχνίαστα τὰ κρίματα σου. Διὰ πρόσκαιρον ἁμαρτίας ἀπόλαυσιν, ἀθάνατα βασανίζομαι· διὰ ἡδονὴν σαρκός, τῷ πυρὶ παραδίδομαι. Δικαία ἡ κρίσις τοῦ Θεοῦ. Ἐκαλούμην καὶ οὐχ ὑπήκουον· ἐδιδασκόμην καὶ οὐ προσεῖχον, διεμαρτύρατό μοι· ἐγὼ δὲ κατεγέλων ἀναγινώσκων καὶ ἐπιγινώσκων οὐκ ἐπίστευσα, ἀλλ᾽ ἐν ἀμελεία καὶ ραθυμία καὶ ἀκηδία, καὶ ἐν περισπασμοῖς καὶ ταραχαῖς καὶ ζάλαις τρυφῶν καὶ σπαταλῶν καὶ σκυρτῶν καὶ ἀγαλλόμενος, καὶ εὐφραινόμενος, ἐδαπάνησά μου τὰ ἔτη καὶ τοὺς μῆνας καὶ τὰς ἡμέρας εἰς τὰ πρόσκαιρα καὶ φθαρτὰ καὶ γήϊνα κοπιῶν καὶ μοχθῶν καὶ ἀγωνιζόμενος· μὴ εἰς νοῦν λαμβάνων ἢ λογιζόμενος, οἷον φόβον καὶ τρόμον καὶ ἀγῶνα καὶ ἀνάγκην ἔχει ἡ ψυχή, ὅτε τοῦ σώματος χωρίζεται. Παραγίνωνται γὰρ εἰς ἡμας στρατιαὶ καὶ δυνάμεις οὐράνιαι καὶ τῶν ὑπεναντίων δυνάμεων, οἱ τοῦ σκότους ἄρχοντες, οἱ Κοσμοκράτωρες τῆς πονηρίας, οἱ Τελωνάρχαι καὶ λογοθέται καὶ πρακτοψηφισταὶ τοῦ ἀέρος καὶ σὺν αὐτοῖς ὁ ἀνθρωποκτόνος διάβολος, ὁ ἐν κακία δυνάστης οὗ ἡ γλῶσσα εὐσεὶ ξυρὸν ἠκονημένον. Περὶ οὗ φησὶ ὁ προφήτης «Τὰ βέλη του δυνατὰ ἠκονημένα σὺν τοῖς ἄνθραξει τοῖς ἐρημικοῖς. Καὶ ἐνεδρεύει ὡς λέων ἐν τῇ μάνδρα αὐτοῦ, ὁ Δράκων ὁ μέγας ὁ ἀποστάτης, ὁ Ἅδης ὁ πλατύνων τὸ στόμα αὐτοῦ, ὁ ἄρχων τῆς ἐξουσίας τοῦ σκότους, ὁ ἔχων τοῦ θανάτου τὸ κράτος καὶ τρόπῳ τινὶ δίκην κατέχων την ψυχὴν ἐπιφέρων καὶ ψηφίζων πάντα τὰ ἐν ἐμοὶ πεπραγμένα, ἐν ἔργῳ καὶ λόγῳ τὰ ἐν γνώσει καὶ ἐν ἀγνοίᾳ ἀνομήματα καὶ ἁμαρτήματα, ἀπὸ τῆς νεότητος ἕως τῆς ἡμέρας τοῦ τέλους, ἧς κατελήφθην. Ἐξερευνῶν λοιπὸν ὁποῖον φόβον καὶ τρόμον δοκεῖς τὴν ψυχὴν ἔχειν ἐν τῇ ἡμέρᾳ

ἐκείνη; Θεωροῦσαν τοὺς φοβεροὺς καὶ ἀγρίους καὶ ἀπηνεῖς καί ἀνηλεεῖς καὶ ἀτιθάσσους δαίμονας, ὡς αἰθίοπας ζοφώδεις παρισταμένους, ὡς καὶ αὐτὴ ἡ ἰδέα μόνη χαλεπωτέρα ὑπάρχει πάσης κολάσεως· οὕστινας ὁρῶσα ἡ ψυχή θορυβεῖται, θροεῖται ὀδυνᾶται, ταράσεται καί συστέλλεται, πρός τοὺς τοῦ θεοῦ Ἀγγέλους προσφέγουσα. Κατέχεται οὖν ἡ ψυχὴ ἀπὸ τῶν Ἁγίων Ἀγγέλων διὰ τοῦ ἀέρος παρερχομένη καὶ ὑψουμένη εὑρίσκει τὰ τελώνια φυλάττοντα τὴν ἄνοδον καὶ κρατοῦντα καὶ διακωλύοντα τὰς ἀναβαινούσας ψυχάς· ἕκαστον γὰρ τελώνιον τὰς οἰκίας ἁμαρτίας προσφέρων αὐτῶν.

Τὸ μὲν τῆς καταλαλιᾶς, ὅσα διὰ στόματος καὶ γλώττης, ἀπὸ ψεύδους καί ὅρκου καὶ ἐπιορκίας, ἀργολογίας τε καὶ φλιαρίας καὶ ματαιολογίας, καὶ γαστρου γίας, παραχρήσεις, ἀσωτοποσίας τε οἴνου καὶ ἀμέτρους γέλωτας καὶ ἀπρεπεῖς καὶ φιλημάτων ἀσέμνων καὶ ἀπρεπῶν καὶ ἀσμάτων πορνικῶν. Οἱ δὲ Ἅγιοι Ἄγγελοι, οἱ τὴν ψυχὴν ὁδηγοῦντες, προσφέρουσι καὶ αὐτοί, ὅσα διὰ στόματος καὶ γλώσσης ἐλαλήσαμεν ἀγαθά, προσευχάς, εὐχαριστίας, ψαλμούς ᾠδάς, ὕμνους, ᾄσματα πνευματικά Ἀναγνώσεις γραφῶν καὶ ὅσα διὰ στόματος καὶ γλώσσης ἀγαθὰ τῷ θεῷ παρεπέμψαμεν. Δεύτερον τελώνιον, ὅρασις ὀμμάτων καὶ ὅσα ἀπὸ ἀπρεποῦς θέας καὶ περιέργου καὶ ἀχαλινώτου ὁράσεως καὶ πνευμάτων δολίων. Τρίτον τελώνιον τῆς ἀκοῆς καὶ ὅσα διὰ τῆς τοιαύτης αἰσθήσεως ἀκάθαρτα πνεύματα δέχονται. Τέταρτον τελώνιον ἡ ὄσφρησις ὀσμῆς τε εὐώδους, ἀλλειμάτων καὶ ἡδονικῆ ὀσφρήσεως, ὅπερ γυναιξί θημελικαῖς καὶ ἑταιρίαι ἑταίρισι πρέπουσι. Πέμπτον τελώνιον ὅσα δι' ἀφῆς χειρῶν πονηρὰ καὶ χαλεπὰ ἐπράχθησαν, καὶ τὰ λοιπὰ τῆς κακίας τελώνια, φθόνου τε καὶ ζήλου, κενοδοξίας τε καὶ ὑπερηφανίας πικριᾶς καὶ ὀργῆς, ὀξυχολίας τε καὶ θυμοῦ, πορνείας καὶ μοιχεία καὶ μαλακίας, φόνου τε καὶ φαρμακείας καὶ τῶν λοιπῶν θεοστιγῶν καὶ μιαρῶν πράξεων, ὧν ἕκαστον ἐν τῇ παρούσῃ ὥρα, οὐκ ἐνί λεπτομερῶς διηγησᾶσθαι, ἐν ἑτέρῳ καιρῷ ταμιεύσθω, καὶ ἁπλῶς οὕτω καθεξῆς ἕκαστον πάθος ψυχῆς, καὶ πᾶν ἁμάρτημα, ἰδίοις τελῶνας ἔχει καὶ φορολογίας. Ψυχὴ οὖν ταῦτα καὶ τὰ μείζονα καὶ πλείονα τούτων θεωροῦσα, ὁποῖον φόβον καὶ τρόμον καὶ κλονὸν δοκεῖς ἔχει, ἕως ὅτου ἡ ἀπόφασις ἔλθῃ; Κἂν ἡ ἐλευθερία αὐτῆς γένηται, ἐκείνη ἐστὶν ἡ ὥρα ἐπώδυνος καὶ ἐπικίνδυνος καὶ πολυστένακτος καὶ ἀπαραμύθητος ἕως ἂν ἴδῃ τὶ τὸ ἀποβησόμενον. Αἱ γὰρ θεῖαι Δυνάμεις ἵστανται κατὰ πρόσωπον τῶν ἀκαθάρτων πνευμάτων καὶ αὗται καλὰς ἐπιφέρουσιν πράξεις διά τε τῶν λόγων καὶ ἔργων καὶ λογισμῶν καὶ ἐννοιῶν. Κατανοεῖ ἡ ψυχὴ μέσον ἱσταμένη ἐν φόβῳ καὶ τρόμῳ, ἕως οὗ ἐκ τῶν πράξεων καὶ τῶν ἔργων καὶ ἔργων καὶ λόγων αὐτῆς, ἡ κατακριθεῖσα δεσ-

μευθῇ, ἢ δικαιοθεῖσα, ἐλευθερωθῇ τῶν ἰδίων γὰρ ἁμαρτημάτων ἕκαστος ταῖς σειραῖς σφείγγεται, καὶ ἐὰν ᾖ ἀξία, εὐσεβῶς ζήσασα καὶ θεαρέστως βιώσασα παραλαμβάνουσι αὐτὴν Ἄγγελοι καὶ λοιπὸν ἀμέριμνος οὖσα πορεύεται ἔχουσα συνοδοιπόρους τὰς Ἁγίας Δυνάμεις κατὰ τὸ γεγραμμένον. Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί. Τότε πληροῦται τὸ εἰρημένον. Ἀπέδρα ὀδύνην, λύπη, καὶ στεναγμός. Τότε ἀπαλαγεῖσα τῶν πονηρῶν καὶ σαπρῶν καὶ φοβερῶν πνευμάτων ἐκείνων πορεύεται εἰς ἐκείνην τὴν ἀνεκλάλητον χαράν.

Ἐὰν δὲ εὑρεθῇ ἐν ἀμελείᾳ καὶ ἀσωτίᾳ ζήσασα, ἀκούει τὴν δεινοτάτην ἐκείνην φωνήν. «Ἀρθήτω ὁ ἀσεβής. ἵνα μὴ ἴδῃ τὴν δόξαν τοῦ Κυρίου». Τότε αὐτὴν καταλαμβάνουσιν ἡμέραι ὀργῆς καὶ θλίψεως καὶ ἀνάγκης καὶ στενοχωρίας. ἡμέραι σκότους καὶ γνόφου. Τότε ἀφέτες αὐτήν οἱ Ἅγιοι τοῦ Θεοῦ Ἄγγελοι παραλαμβάνουσιν αὐτήν, οἱ Αἴθιοπες ἐκεῖνοι Δαίμονες, καὶ τύπτοντες αὐτὴν ἀνηλεῶς κατάγουσιν αὐτὴν εἰς τὴν γῆν καὶ διχάσαντες αὐτὴν ρίπτουσιν αὐτὴν δεδεμένην δεσμοῖς ἀλύτοις, εἰς γῆν σκοτινὴν καὶ ζοφεράν, εἰς τὰ κατώτερα μέρη, ἐν τοῖς καταχθονίοις καὶ δεσμοτηρίοις καὶ φυλακαῖς τοῦ Ἅδου ἔνθα τυγχάνουσι ἀποκεκλεισμέναι αἱ ψυχαὶ τῶν ἁμαρτωλῶν τῶν ἀπ' αἰῶνος κεκοιμημένων, καθὼς φησὶ ὁ Ἰώβ. « Εἰς γῆν σκοτεινὴν καὶ φοβεράν, εἰς γῆν σκότους αἰωνίου, ἧς οὐκ ἐστὶ φέγγος οὐδὲ ζωὴ βροτῶν ἀλλ' ὀδύνην αἰώνιος καὶ κλαθμὸς ἄπαυστος καὶ βρυθμὸς ὀδόντων ἀσίγητος καὶ στεναγμοί ἀκοίμητοι. Ἐκεῖ οὐχὶ διαπαντός· ἐκεῖ, οἴμοι, οἴμοι, ἐκεῖ κράζουσιν καὶ οὐκ ἐστίν ὁ βοηθῶν· βοῶσιν καὶ οὐδείς ἐστίν ὁ ρυόμενος· οὐκ ἐστί διηγήσασθαι τὴν ἀνάγκην ἐκείνην· οὐκ ἐστίν εἰπεῖν διὰ γλώττης τὰς ὀδύνας των ἐκεῖσε κατακειμένων καὶ ἀποκεκλεισμένων ψυχῶν. Ἀδυνατεῖ πᾶν στόμα ἀνθρώπου φανερῶσαι τὸν φόβον καὶ τρόμον ἐκεῖνον· οὐκ ἔστι χείλη ἀνθρώπου ἰσχύοντα εἰπεῖν τὴν περίστασιν καί τὸν κλαθμὸν αὐτῶν. Στενάζουσιν διηνεκῶς καὶ ἀπαύστως, ἀλλ' οὐδείς ὁ ἐλεῶν κράζουσιν ἐκ βάθους, ἀλλ' οὐδείς εἰσακούῃ· ἐποδύρονται, ἀλλ' οὐδείς ὁ ρυόμενος, ἀνακαλοῦνται καὶ κόπτονται, ἀλλ' οὐδείς ὁ εὐσπλαχνιζόμενος.

Τότε ποῦ ἡ καύχησις τοῦ Κόσμου τούτου; ποῦ ἡ κενοδοξια: ποῦ ἡ τρυφή; ποῦ ἡ ἀπόλαυσις; ποῦ ἡ σπατάλη; ποῦ ἡ φαντασία; ποῦ ἡ ἀνάπαυσις; ποῦ ὁ Κόσμος; ποῦ τὰ χρήματα; ποῦ ἡ εὐγένεια; ποῦ τότε ἡ τερπνότης; ποῦ ἡ ἀνδρεια τῆς σαρκός; ποῦ τὸ κάλλος τῶν γυναικῶν τὸ ψευδὲς καὶ ἀνωφελές; ποῦ τότε ἡ παρρησια ἡ ἀναιδὴς και ἀναισχυντος; ποῦ τότε ὁ καλλωπισμὸς τῶν ἱματιων; ποῦ ἡ ἡδονὴ τῆς ἁμαρτιας ἡ ἀκάθαρτος και συγχαντή; ποῦ οἱ τὴν βδελυρὰν τῶν ἀρρενοκοιτῶν ἡδονὴν ἡγούμενοι; ποῦ οἱ τὰ μῦρα και τὰ ἄλλα ἀλλείματα

ἀλειφόμενοι καὶ καπνιζόμενοι; ποῦ οἱ μετὰ τυμπάνων καὶ κιθάρας τὸν οἶνον πίνοντες; ποῦ τότε ἡ καταφρόνησις τῶν ἐν ἀφοβία ζώντων; ποῦ ἡ φυλαργυρία καὶ ἡ ὠφελοχρηματία καὶ ἡ ἐξ αὐτῶν ἀσπλαχνία; ποῦ τότε ἡ ἀπάνθρωπος ὑπερηφάνια, ἡ πάντα βδελυσσομένη καὶ ἑαυτὴν λογιζομένη εἶναι τί; ποῦ τότε ἡ κενὴ καὶ ματαία τῶν ἀνῶν δόξα; ποῦ ἡ λαγνεία καὶ ἡ ἀκολασία; ποῦ ἡ δυναστεία καὶ ἡ τυρανίς; ποῦ τότε βασιλεὺς; ποῦ ἄρχων; ποῦ ἡγούμενος; ποῦ ἐπ' ἐξουσιῶν; ποῦ οἱ γαυριῶντες ἐπὶ πλήθει πλούτου πτωχοὺς μὴ ἐλεοῦντες, καὶ τοῦ Θεοῦ καταφρονοῦντες; ποῦ τὰ θέατρα καὶ τὰ κυνήγια; ποῦ τότε οἱ μετεωριζόμενοι, καὶ μετριάζοντες καὶ ἀμερίμνως βιοῦντες; ποῦ τὰ μαλακὰ ἐνδύματα καὶ αἱ στρωμναὶ αἱ μαλακαὶ καὶ ἁπαλαι; ποῦ αἱ ὑψηλαὶ οἰκοδομαὶ καὶ τὸ εὖρος τῶν στοῶν ποῦ οἱ ἐν ἀφοβοία ζήσαντες; τότε ἰδόντες θαυμάσουσιν καὶ φρίξουσι καταπλαγέντες ὀλολύξουσι, ταραχθέντες σαλευθῶσι· τρόμος αὐτοὺς καταλάβωσι καὶ ὠδίνες ὡσεῖ τικτούσης ἐν πνεύματι βεβαίῳ συντριβήσονται ἀφανιζόμενοι. Ποῦ τότε ἡ σοφία τῶν σοφῶν; ποῦ τῶν ρητόρων ἡ εὐγλωτία, καὶ τὰ μάταια αὐτῶν πανουργεύματα; οὐαί, ἐταράχθησαν, ἐσαλεύθησαν καὶ ὁ μεθύων καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη· ποῦ Σοφός; ποῦ Γραμματεύς, ποῦ συζητητής τοῦ αἰῶνος τούτου; ὦ ἀδελφοὶ ἀναλογίζασθε ποταποὺς δεῖ ὑπάρχειν ἡμᾶς διδόντας λόγον καθ' ἓν ὧν ἐπράξαμεν εἴτε μεγάλων, εἴτε μικρῶν; μέχρι γὰρ τοῦ ἀργοῦ λόγου ἀπολογίαν δώσωμεν τῷ Δικαίῳ Κριτῇ. Ποταποὺς οὖν δεῖ ἡμᾶς εἶναι ἐν τῇ ὥρα ἐκείνῃ; Ἐὰν δὲ εὕρωμεν χάριν ἐνώπιον τοῦ Θεοῦ ἵνα χαρὰ δέχηται ἡμᾶς ἀφοριζομένους ἐκ δεξιῶν τοῦ Βασιλέως, ποταποὺς δεῖ εἶναι ἡμᾶς εἰς τὴν χαρὰν ἐκείνην τὴν ἀνεκκλητον. Ὅταν εἴπῃ ὁ βασιλεὺς τῶν βασιλευόντων, τοῖς ἐκ δεξιῶν αὐτοῦ μετὰ ἱλαρότητος. Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς Κόσμου. Τότε κατακληρονομήσωμεν ἐκεῖνα τὰ ἀγαθά, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδαίν ἀνθρώπου οὐκ ἀνέβη ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

Τότε λοιπὸν ἀμέριμνοι ἐσμέν, μηκέτι πτοούμενοι μηδεμίαν πτόησιν. Ἀναλογισόμεθα δὲ ταῦτα καὶ τὴν τῶν ἁμαρτωλῶν ἀτελεύτητον κόλασιν, ὅταν εἰσάγωνται εἰς τὸ βῆμα τὸ φοβερόν, οἵα αἰσχύνη αὐτοὺς λήψεται ἐνώπιον τοῦ δικαίου Κριτοῦ μὴ ἔχοντος λόγον ἀπολογίας οἵα ἐντροπὴ λήψεται αὐτοὺς ἀφοριζομένους ἐξ εὐωνύμων τοῦ Βασιλέως, οἷον σκότος ἐπιπέσει ἐπ' αὐτοὺς ἐν ὀργῇ αὐτοῦ καὶ ἐν τῷ θυμῷ Αὐτοῦ ταράξῃ αὐτούς. Ὅταν λαλήσει πρὸς αὐτοὺς «Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς Ἀγγέλοις αὐτοῦ. Οἴμοι! οἴμοι! οἵαν θλίψιν καὶ ὀδύνην καὶ στενοχωρίαν καὶ φόβον

καὶ τρόμον δέξεται τὸ πνεῦμα αὐτῶν ὅταν γένηται κραυγὴ πασῶν τῶν ἐπουρανίων δυνάμεων λέγουσα. Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν Ἅδην. Οὐαί, οὐαί, οἷον μέλος ἀλαλάζουσι θρηνοῦντες καὶ πενθοῦντες καὶ ὀλολάζοντες, κοπτόμενοι, ἀπαγόμενοι, κολασθῆναι πικρῶς εἰς ἀτελευτήτους αἰῶνας. Οἴμοι! οἴμοι, οἷος ἐστὶν ὁ τόπος ὅπου ἐστὶν ὁ κλαθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὁ καλούμενος Τάρταρος, ὃν καὶ αὐτὸς ὁ διάβολος φρίττει. Οὐαί! οὐαί! οἷα ἐστὶν ἡ Γέεννα τοῦ πυρός, τοῦ ἀσβέστου καίοντος καὶ μὴ φωτίζοντος. Οἴμοι, οἴμοι, οἷος ἐστὶν ὁ ἀκοίμητος καὶ ἰοβόλος σκώληξ. Οὐαί, οὐαί, οἷον δεινὸν ἐστὶ τὸ σκότος ἐκεῖνο τὸ ἐξώτερον καὶ ἀνημένον. Οἴμοι, οἴμοι οἷοι εἰσὶν οἱ ἄγγελοι ἐκεῖνοι, οἱ ἐπὶ τῶν κολάσεων ἄσπλαχνοι καὶ ἀνελεήμονες, ὀνειδίζουσιν γὰρ καὶ ἐπιπλήττουσι δεινῶς. Τότε οἱ κολαζόμενοι κράζουσιν ἐκτενῶς καὶ ὁ σώζων οὐκ ἐστί. «Κεκράζονται γὰρ πρὸς Κύριον καὶ οὐκ εἰσακούσεται αὐτῶν. Τότε γνώσονται ὅτι ματαία αὐτοῖς ἀπήει πάντα τὰ τοῦ βίου καὶ ἃς ἐδόκουν ἐνταῦθα χρηστὰ εἶναι καὶ χαρμονῆς πλήρη, χολῆς καὶ ἰοῦ πικροῦ πικροτέρα εὑρεθήσονται. Οὐαὶ τοῖς ἁμαρτωλοῖς, ὅταν οἱ δίκαιοι ἐκ δεξιῶν ἵστανται, κἀκεῖνοι θλίβονται, ὅταν οἱ ἁμαρτωλοὶ πενθοῦσι καὶ οἱ δίκαιοι χαίρουσιν. Ὅταν οἱ δίκαιοι ἑορτάζουσι καὶ οἱ ἁμαρτωλοὶ ὀδύρονται. Ὅταν οἱ δίκαιοι ἐν γαλήνῃ καὶ οἱ ἁμαρτωλοὶ ἐν χειμῶνι καὶ συμφορᾷ. Οὐαὶ τοῖς ἁμαρτωλοῖς ὅταν οἱ δίκαιοι δοξάζονται, κακεῖνοι καταδικάζονται. Οὐαὶ τοῖς ἁμαρτωλοῖς, ὅταν οἱ δίκαιοι κορέννυνται παντὸς ἀγαθοῦ καὶ οἱ ἁμαρτωλοὶ ἐστερούμενοι στενάζουσι. Οὐαὶ τοῖς ἁμαρτωλοῖς, ὅταν οἱ δίκαιοι μακαρίζονται κακεῖνοι ὀνειδίζονται. Οἱ Δίκαιοι ἐν ἁγιασμῷ οἱ δὲ ἁμαρτωλοὶ ἐν ἐμπρισμῷ. Οἱ Δίκαιοι ἐγκωμιάζονται, οἱ δὲ ἁμαρτωλοὶ ταλανίζονται. Οἱ Δίκαιοι ἐν Μοναῖς ἁγίων οἱ δὲ ἁμαρτωλοὶ ἐν ἐξορία αἰωνίῳ. Οἱ Δίκαιοι ἀκούσονται τὸ «Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρὸς κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου, οἱ δὲ ἁμαρτωλοὶ ἀκούσωσι τὸ «Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς Ἀγγέλοις αὐτοῦ· οἱ δίκαιοι εἰς παράδεισον, οἱ ἁμαρτωλοὶ εἰς τὸ πῦρ τὸ ἄσβεστον· οἱ δίκαιοι τρυφῶσιν, οἱ ἁμαρτωλοὶ τρύχονται· οἱ δίκαιοι χορεύουσιν, οἱ δὲ ἁμαρτωλοὶ δεσμοῦνται· οἱ δίκαιοι ᾄδουσιν οἱ ἁμαρτωλοὶ θρηνοῦσιν· οἱ δίκαιοι τὸ τρισάγιον, οἱ ἁμαρτωλοὶ τὸ τρισάθλιον· οἱ δίκαιοι τὸ ᾆσμα, οἱ ἁμαρτωλοὶ τὸ χάσμα· οἱ δίκαιοι εἰς κόλπους Ἀβραάμ, οἱ ἁμαρτωλοὶ εἰς βράσματα Βελίαρ, οἱ δίκαιοι εἰς ἀνάπαυσιν, οἱ ἁμαρτωλοὶ εἰς κατάκρισιν· οἱ δίκαιοι δροσίζονται, οἱ ἁμαρτωλοὶ φλογίζονται· οἱ δίκαιοι εὐφραίνονται, οἱ ἁμαρτωλοὶ τῇ λύπῃ ξηραίνονται· οἱ δίκαιοι μεγαλύνονται, οἱ δὲ ἁμαρτωλοὶ τήκονται· οἱ δίκαιοι ὑψοῦνται, οἱ δὲ ἁμαρτωλοὶ ταπεινοῦνται· οἱ δίκαιοι θάλπονται, οἱ δὲ ἁμαρτωλοὶ μαραίνονται· οἱ δίκαιοι τῶν ἀγαθῶν κορύνονται, οἱ ἁμαρτωλοὶ κλονίζονται. Τοὺς δικαίους θρέψει θέα

Θεοῦ, τοὺς ἁμαρτωλοὺς λυπήσῃ θέα πυρός· οἱ δίκαιοι σκεῦος ἐκλογῆς, οἱ ἁμαρτωλοὶ σκεῦος γεέννης· οἱ δίκαιοι χρυσὸς πεπυρακτωμένος καὶ ἄργυρος δόκιμος καὶ λίθοι τίμιοι, οἱ ἁμαρτωλοὶ ξύλα, καλάμη καὶ χόρτος, πυρὸς ὑπέκκαυμα. Οἱ δίκαιοι ὄντες βασιλείας, οἱ ἁμαρτωλοὶ ἄχυρα ἀπωλείας· οἱ δίκαιοι σπόρος ἐκλεκτός, οἱ ἁμαρτωλοὶ ζυζάνια πυρός· οἱ δίκαιοι ἅλας θεῖον, οἱ ἁμαρτωλοὶ βρῶμος καὶ δυσωδία· οἱ δίκαιοι Ναοὶ Θεοῦ ἀμίαντοι, οἱ ἁμαρτωλοὶ ναοὶ δαιμόνων μεμιασμένοι· οἱ δίκαιοι ἐν τῷ νυμφῶνι, οἱ ἁμαρτωλοὶ εἰς χάος ἀπέραντον· οἱ δίκαιοι ἐν φωτοφανείαις, οἱ ἁμαρτωλοὶ ἐν ζόφῳ θυέλλης, οἱ δίκαιοι μετὰ ἀγγέλων, οἱ ἁμαρτωλοὶ μετὰ δαιμόνων, οἱ δίκαιοι ἐν Ἀγγέλοις χορεύουσιν, οἱ ἁμαρτωλοὶ μετὰ δαιμόνων θρηνοῦσιν· οἱ δίκαιοι μέσῳ τοῦ φωτός, οἱ ἁμαρτωλοὶ μέσῳ τοῦ σκότους· οἱ δίκαιοι ὑπὸ τοῦ παρακλήτου παρακαλοῦνται, οἱ ἁμαρτωλοὶ σὺν τοῖς δαίμοσι τιμωροῦνται· οἱ δίκαιοι παρίστανται τῷ θρόνῳ τῷ δεσποτικῷ, οἱ ἁμαρτωλοὶ παρίστανται τῷ ζόφῳ τῶν τιμωρητικῶν· οἱ δίκαιοι διὰ παντός βλέπωσι τὸ πρόσωπον τοῦ Χριστοῦ, οἱ ἁμαρτωλοὶ διὰ παντὸς ἵστανται κατὰ πρόσωπον τοῦ διαβόλου, οἱ δίκαιοι μιοῦνται Ἀγγέλοις, οἱ ἁμαρτωλοὶ μιοῦνται δαίμοσιν· οἱ δίκαιοι ἱκεσίαν προσφέρουσιν, οἱ ἁμαρτωλοὶ ἐν Ἀβύσσῳ· οἱ δίκαιοι εἰς ζωὴν αἰώνιον, οἱ ἁμαρτωλοὶ εἰς θάνατον ἀπωλείας· οἱ δίκαιοι ἐν χειρὶ Θεοῦ, οἱ ἁμαρτωλοὶ ἐν τόπῳ διαβόλου· οἱ δίκαιοι μετὰ τοῦ Θεοῦ, οἱ ἁμαρτωλοὶ μετὰ τοῦ σατανᾶ.

Οὐαὶ τοῖς ἁμαρτωλοῖς, ὅτι ἀφορίζονται ἀπὸ τῶν δικαίων· οὐαὶ τοῖς ἁμαρτωλοῖς ὅτι γυμνοῦνται αἱ πράξεις αὐτῶν καὶ αἱ βουλαὶ τῶν καρδιῶν φανεροῦνται. Οὐαὶ τοῖς ἁμαρτωλοῖς ὅτι οἱ συνδυασμοὶ τοῦ νοὸς ἐλέγχονται καὶ αἱ συγκαταθέσεις τῶν πονηρῶν λογισμῶν ζυγοστατοῦνται καὶ ταλαντεύεται ἡ διάνοια. Οὐαὶ τοῖς ἁμαρτωλοῖς ὅτι μισοῦνται ὑπὸ τῶν Ἀγγέλων καὶ βδελύσσονται ὑπὸ τῶν ἁγίων Μαρτύρων· οὐαὶ τοῖς ἁμαρτωλοῖς ὅτι ἐκβάλλονται ἐκ τοῦ νυμφῶνος· οὐαὶ τὴν τότε θλῖψιν· οὐαὶ τὴν τότε ἀνάγκην, οὐαὶ τὴν τότε καταιγίδα. Δεινὸν τὸ χωρισθῆναι ἀπὸ τῶν ἁγίων ἀρχαγγέλων, δεινότερον τὸ χωρισθῆναι ἀπὸ τοῦ Θεοῦ, ἄτιμον δὲ τὸ δεθῆναι χεῖρας καὶ πόδας καὶ εἰς τὸ πῦρ βληθῆναι, θλιβερὸν τὸ ἐκπεμφθῆναι εἰς τὸ σκότος τὸ ἐξώτερον τὸ γνοφερὸν τρίζειν τοὺς ὀδόντας καὶ τίκεσθαι. Βαρὺ τὸ ἀπαύστως κολάζεσθαι, πονηρὸν τὸ φλογίζεσθαι τὴν γλῶσσαν, ἀσυμπαθὲς τὸ αἰτεῖν ρανίδα ὕδατος καὶ μὴ λαμβάνειν, πικρὸν τὸ ἐν πυρὶ εἶναι καὶ βοᾶν καὶ μὴ βοηθεῖσθαι. Ἀπαράβατος ἡ φάραξ καὶ ἀμέτρητον τὸ χάος· ἄφευκτος ὁ ἀποκλεισθείς, ἀναπόδραστος ὁ κατεχόμενος, ἀνυπέρβατον τὸ τεῖχος τῆς φυλακῆς, ἄσπλαγχνοι οἱ τηρηταί, σκοτεινὸν τὸ δεσμοτήριον, ἄλυτα τὰ δεσμά, ἀνάσπατοι αἱ ἁλύσεις, ἄγριοι καὶ ἀτίθασοι οἱ ὑπηρέται τῆς φλογὸς ἐκείνης. Βαρεῖαι αἱ κασίδες αἱ τιμωριτικαὶ ἐκεῖναι· στεροὶ οἱ ὄνυχες καὶ ἄθραυστοι· σκληρὰ τὰ βούνευρα

θολώδεις καὶ κοχλάζουσιν αἱ πίσσαι, δυσώδες τὸ θέατρον, ἀνθρακώδεις αἱ κλίναι ἐκεῖναι, ἄσβεστος ἡ πυρά, κνισσώδης καὶ βρωμώδης ὁ σκώληξ, ἀσυγχώρητον τὸ κριτήριον, ἀπροσωπόληπτος ὁ δικαστής, ἀπροφάσιστος ἡ ἀπολογία, κατεστιγμένα τὰ πρόσωπα τὰ τῶν δικαστῶν, πενιχροὶ οἱ δυνάσται, πτωχοὶ οἱ βασιλεῖς, ἰδιῶται οἱ σοφοί, μωροὶ καὶ ἄδεκτοι οἱ ρήτορες, ἄφρονες οἱ πλούσιοι, ἀνήκοα τὰ κολακεύματα τῶν πλαστογράφων, φανεραὶ αἱ καμπύλαι τῶν ραδιούργων, τηλαυγεῖς αἱ τροχιαὶ τῶν πλεονεκτῶν, βραμώδης τῶν φιλαργύρων ἡ ὀσμή, φανερὰ τῶν ὑποκριτῶν ἡ ὑπουλότης. οἰνόπληγοι οἱ ἐπιθέται. Πάντα γυμνὰ καὶ τετραχηλισμένα ἐνώπιον αὐτῶν. Οὐαὶ τοῖς ἁμαρτωλοῖς, βέβηλοι καὶ ἐναγεῖς καὶ ἀκάθαρτοι εἰσὶν ἐνώπιον Θεοῦ. Πῶς μεμίανται αὐτῶν αἱ ψυχαί; πῶς βρωμῶσιν αὐτῶν τὰ σώματα ἐκ τῆς λαγνείας καὶ ἀκολασίας; πῶς ἐμόλυναν τὰ σώματα καὶ ἐμίαναν τὴν ψυχήν, μὴ φυλάξαντες τὴν στολὴν τοῦ ἁγίου βαπτίσματος; Πῶς ἀναισχύντως καὶ ἀνεριθριάστως τῇ κρεπάλῃ καὶ τῇ μέθῃ τῆς ἀσωτίας τὴν ὀζοθήκην τῆς κοιλίας, τὸν ἀσκὸν τῆς γαστρὸς τῇ αὐταρτακείᾳ καὶ ἐγκρατείᾳ μὴ διηχήσαντες; ἀλλὰ τὸν πλοῦτον αὐτῶν αὐτῇ ἐμπιστεύσαντες, τρυφηλῶς εἰς τὰς ἡδονὰς ὡς χοῖροι τῷ βορβόρῳ καὶ ἐγκυλιδούμενοι τὰς ἡμέρας καὶ τὰ ἔτη αὐτῶν ἐδαπάνησαν, μετεωριζόμενοι ἐν λογισμοῖς ρυπαροῖς καὶ φαύλοις ἐνωσίαις, ἀργολογίαις καὶ θυμελικοῖς ᾄσμασι; Πῶς ἠλοιώθησαν τὴν καρδίαν αὐτῶν τῇ πωρώσῃ εἰς νοῦν μὴ λαβόντες τὴν σύνταξιν τοῦ Χριστοῦ καὶ τὴν ἀπόταξιν τοῦ διαβόλου; πῶς ἐξετράπησαν τῆς εὐθείας ὁδοῦ ἐν τῷ σκότει τῆς ἀγνοίας βαδίσαντες καὶ τῷ ὕπνῳ τῆς ραθυμίας εἰδόντες εἰς πέθαυρα τῆς γεέννης ἑαυτοὺς ποντίσαντες. Πῶς ἀπηλλοτριώθησαν τοῦ φωτὸς τῶν ἀρετῶν ἀγαπήσαντες τὸ σκότος τῆς ἁμαρτίας, διὰ τὸ βαδίσαι αὐτοὺς τῆς πλατείας καὶ εὐρυχώρου ὁδοῦ τῆς τρίβου τῆς κακίας. Πῶς ἐπελάθοντο τῆς τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιδημίας καὶ τῶν πολλῶν καὶ ἀνεξιχνιάστων αὐτοῦ εὐεργεσιῶν. Καθαρισθέντες μὲν δι' ὕδατος τοῦ θείου βαπτίσματος καὶ πνεύματος ἁγίου καὶ στολισθέντες τῷ μύρῳ τῆς ἀγαλλιάσεως, διὰ δὲ μικρὰν ἡδονὴν μισητὴν καὶ συγχαντὴν ἀθετήσαντες τὰς τοιαύτας καὶ τηλικαύτας δωρεάς, δουλώθησαν πνεύματι πορνείας καὶ μοιχείας; Οὐαὶ τοῖς καταλήψασι τὴν υἱοθεσίαν καὶ ἀκολουθήσασι ταῖς τοῦ Κόσμου συντυχίαις· οὐαὶ τοῖς ἀγαπῶσι τὸ σκότος τῆς ἁμαρτίας· οὐαὶ τοῖς καταλείπουσι τὸ φῶς τῆς ἀληθείας· οὐαὶ τοῖς περιπατοῦσι ἐν νυκτὶ τῆς ἁμαρτίας· οὐαὶ τοῖς καταλιμπάνουσι τὴν ἡμέραν τῆς θεογνωσίας· οὐαὶ τοῖς ἐμπεπλησμένοις τῇ κακῇ συνηθείᾳ τοῦ γέλωτος· οὐαὶ τοῖς καλλοπιζομένοις πρὸς τὸ τρῶσαι ψυχὰς εἰς συνουσίαν καὶ λαγνείας ἀκολασίας ἀκαθάρτου· ἀληθῶς γὰρ ἄγγιστρον ἐστὶ τοῦ διαβόλου ὁ καλλωπισμός· τοῖς οὖν ποθοῦσιν καὶ ζητοῦσι καὶ θέλουσι σωθῆναι μισητός ἐστιν.

